μένων', καὶ ὡς 'θαυμάζω, τῶν πρὸς τὰ κοινὰ προσιόντων, τί βούλονται', καὶ ὡς 'ἀχάριστόν ἐστι ⟨τὸ πλῆθος καὶ ἀεὶ⟩, τοῦ νέμοντος καὶ διδόντος', καὶ ὡς αἰσχύνεται ἐν τῇ ἐκκλησίᾳ, ὅταν παρακάθηταί τις αὐτῷ λεπτὸς καὶ αὐχμῶν. καὶ εἰπεῖν· 'πότε παυσόμεθα ὑπὸ τῶν λειτουργιῶν καὶ τῶν τριηραρχιῶν ἀπολλύμενοι'; καὶ 'ὡς μισητὸν τὸ τῶν δημαγωγῶν γένος, τὸν Θησέα πρῶτον φήσας τῶν κακῶν τῇ πόλει γεγονέναι αἴτιον, τοῦτον γὰρ ἐκ δώδεκα πόλεων εἰς μίαν καταγαγόντα ⟨τὰ πλήθη⟩ λῦσαι τὰς βασιλείας· καὶ δίκαια αὐτὸν παθεῖν, πρῶτον γὰρ αὐτὸν ἀπολέσθαι ὑπ' αὐτῶν'. καὶ τοιαῦτα ἕτερα πρὸς τοὺς ξένους καὶ τῶν πολιτῶν τοὺς ὁμοτρόπους καὶ ταὐτὰ προαιρουμένους. ς (Κς)

## ΜΙΚΡΟΦΙΛΟΤΙΜΙΑΣ

Ἡ δὲ μικροφιλοτιμία δόξει εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος, ὁ δὲ μικροφιλότιμος τοιοῦτός τις, οἷος σπουδάσαι ἐπὶ δεῖπνον κληθεὶς παρ' αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι. καὶ τὸν υἱὸν ἀποκεῖραι ἀγαγεῖν εἰς Δελφούς. καὶ ἐπιμεληθῆναι δέ, ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ ἔσται. καὶ ἀποδιδοὺς μνᾶν ἀργυρίου καινὸν ποιῆσαι ἀποδοῦναι. καὶ κολοιῷ δὲ ἔνδον τρεφομένῳ δεινὸς κλιμάκιον πρίασθαι καὶ ἀσπίδιον χαλκοῦν ποιῆσαι, ὃ ἔχων ἐπὶ τοῦ κλιμακίου ὁ κολοιὸς πηδήσεται. καὶ βοῦν θύσας τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς εἰσόδου προσπατταλῶσαι, στέμμασι μεγάλοις περιδήσας, ὅπως οἱ εἰσιόντες ἴδωσιν, ὅτι βοῦν ἔθυσε. καὶ πομπεύσας μετὰ τῶν ἱππέων τὰ μὲν ἄλλα πάντα δοῦναι τῷ παιδὶ ἀπενεγκεῖν οἴκαδε, ἀναβαλλό-